OCR
RECOGNISING ACHIEVEMENT

# Friday 14 June 2013 – Afternoon

## ADVANCED GCE CLASSICS: CLASSICAL GREEK

**F373/01** Classical Greek Verse

**INSERT**

**Duration:** 2 hours

*F337340613*

**INSTRUCTIONS TO CANDIDATES**

- Do not hand in this Insert at the end of the examination. It is not required by the Examiner.

**INFORMATION FOR CANDIDATES**

- This document consists of **8** pages. Any blank pages are indicated.

**INSTRUCTION TO EXAMS OFFICER/INVIGILATOR**

- Do not send this Insert for marking; it should be retained in the centre or recycled. Please contact OCR Copyright should you wish to re-use this document.

© OCR 2013 [L/500/8444] OCR is an exempt Charity
NL 66214/2

## Passage 1

*The children of Heracles have sought refuge in Athens from their persecutor, King Eurystheus of Argos. The King of Athens, Demophon, asserts to Eurystheus’ herald that the city will respect the children’s right to sanctuary and not let him take them.*

ΚΗΡΥΞ ΔΗΜΟΦΩΝ ΧΟΡΟΣ

DEMOPHON Go back to Argos and tell Eurystheus that if he makes any charge against these suppliants he shall receive just treatment. But you will never take them away.

Κη. οὐδ’ ἦν[1] δίκαιον ᾖ τι καὶ νικῶ λόγῳ;
Δη. καὶ πῶς δίκαιον τὸν ἱκέτην ἄγειν βίᾳ;
Κη. οὔκουν[2] ἐμοὶ τόδ’ αἰσχρὸν οὐδὲ σοὶ βλάβος.[3]
Δη. ἐμοί γ’, ἐάν σοι τούσδ’ ἐφέλκεσθαι μεθῶ.[4]
Κη. οὐ βούλομαί σε πόλεμον Ἀργείοις ἔχειν.
Δη. κἀγὼ τοιοῦτος· τῶνδε δ’ οὐ μεθήσομαι[5].
Κη. ἄξω γε μέντοι τοὺς ἐμοὺς ἐγὼ λαβών.
Δη. οὐκ ἆρ’ ἐς Ἄργος ῥᾳδίως ἄπει πάλιν.
Κη. πειρώμενος δὴ τοῦτό γ’ αὐτίκ’ εἴσομαι.
Δη. κλαίων ἄρ’ ἅψῃ τῶνδε κοὐκ ἐς ἀμβολάς.[6]
Χο. μὴ πρὸς θεῶν κήρυκα τολμήσῃς θενεῖν.[7]
Δη. εἰ μή γ’ ὁ κῆρυξ σωφρονεῖν μαθήσεται.
Χο. ἄπελθε· καὶ σὺ τοῦδε μὴ θίγῃς, ἄναξ.
Κη. στείχω· μιᾶς γὰρ χειρὸς ἀσθενὴς μάχη.
ἥξω δὲ πολλὴν Ἄρεος Ἀργείου λαβὼν
πάγχαλκον αἰχμὴν[8] δεῦρο. μυρίοι δέ με
μένουσιν ἀσπιστῆρες Εὐρυσθεύς τ’ ἄναξ
αὐτὸς στρατηγῶν· Ἀλκάθου δ’ ἐπ’ ἐσχάτοις
καραδοκῶν[9] τἀνθένδε τέρμασιν[10] μένει.
λαμπρὸς[11] δ’ ἀκούσας σὴν ὕβριν φανήσεται
σοὶ καὶ πολίταις γῇ τε τῇδε καὶ φυτοῖς·[12]
μάτην γὰρ ἥβην[13] ὧδέ γ’ ἂν κεκτήμεθα
πολλὴν ἐν Ἄργει, μή σε τιμωρούμενοι.

Euripides, *Heracleidae*, 253–256, 265–283

**Names**

| | |
|---|---|
| Ἀργεῖος, -α, -ον | inhabitant of Argos, Argive |
| ὁ Ἄρης, Ἄρεος | Ares (the god of war) |
| ὁ Ἀλκάθοος, -ου | Alcathous (king of Megara) |

© OCR 2013

**Words**

| | | | |
|---|---|---|---|
| 1 ἢν | = ἐάν | 8 ἡ αἰχμή, -ῆς | *here* = army |
| 2 οὔκουν | = οὐκ | 9 καραδοκέω | I watch eagerly |
| 3 τὸ βλάβος, -ους | loss | 10 τὸ τέρμα, -ατος | border |
| 4 μεθίημι | I let go | 11 λαμπρός | raging furiously |
| 5 μεθίεμαι + genitive | I let go of | 12 τὸ φυτόν, -οῦ | *here* = crop |
| 6 οὐκ ἐς ἀμβολάς | without delay | 13 ἡ ἥβη, -ης | *here* = army |
| 7 θείνω, aorist ἔθενον | I strike | | |

© OCR 2013

## Passage 2A

ΟΙΔΙΠΟΥΣ
ὦ πλοῦτε καὶ τυραννὶ καὶ τέχνη τέχνης
ὑπερφέρουσα τῷ πολυζήλῳ βίῳ,
ὅσος παρ' ὑμῖν ὁ φθόνος φυλάσσεται,
εἰ τῆσδέ γ' ἀρχῆς οὕνεχ', ἣν ἐμοὶ πόλις
δωρητόν, οὐκ αἰτητόν, εἰσεχείρισεν,
ταύτης Κρέων ὁ πιστός, οὑξ ἀρχῆς φίλος,
λάθρᾳ μ' ὑπελθὼν ἐκβαλεῖν ἱμείρεται,
ὑφεὶς μάγον τοιόνδε μηχανορράφον,
δόλιον ἀγύρτην, ὅστις ἐν τοῖς κέρδεσιν
μόνον δέδορκε, τὴν τέχνην δ' ἔφυ τυφλός.
ἐπεί φέρ' εἰπέ, ποῦ σὺ μάντις εἶ σαφής;
πῶς οὐχ, ὅθ' ἡ ῥαψῳδὸς ἐνθάδ' ἦν κύων,
ηὔδας τι τοῖσδ' ἀστοῖσιν ἐκλυτήριον;
καίτοι τό γ' αἴνιγμ' οὐχὶ τοὐπιόντος ἦν
ἀνδρὸς διειπεῖν, ἀλλὰ μαντείας ἔδει·
ἣν οὔτ' ἀπ' οἰωνῶν σὺ προυφάνης ἔχων
οὔτ' ἐκ θεῶν του γνωτόν· ἀλλ' ἐγὼ μολών,
ὁ μηδὲν εἰδὼς Οἰδίπους, ἔπαυσά νιν,
γνώμῃ κυρήσας οὐδ' ἀπ' οἰωνῶν μαθών·
ὃν δὴ σὺ πειρᾷς ἐκβαλεῖν, δοκῶν θρόνοις
παραστατήσειν τοῖς Κρεοντείοις πέλας.
κλαίων δοκεῖς μοι καὶ σὺ χὡ συνθεὶς τάδε
ἀγηλατήσειν· εἰ δὲ μὴ 'δόκεις γέρων
εἶναι, παθὼν ἔγνως ἂν οἷά περ φρονεῖς.

Sophocles, *Oedipus Tyrannus,* 380–403

© OCR 2013

## Passage 2B

ΟΙΔΙΠΟΥΣ
ὥστ᾽ οὐχ ὕπνῳ γ᾽ εὕδοντά μ᾽ ἐξεγείρετε,
ἀλλ᾽ ἴστε πολλὰ μέν με δακρύσαντα δή,
πολλὰς δ᾽ ὁδοὺς ἐλθόντα φροντίδος πλάνοις·
ἣν δ᾽ εὖ σκοπῶν ηὕρισκον ἴασιν μόνην,
ταύτην ἔπραξα· παῖδα γὰρ Μενοικέως
Κρέοντ᾽, ἐμαυτοῦ γαμβρόν, ἐς τὰ Πυθικὰ
ἔπεμψα Φοίβου δώμαθ᾽, ὡς πύθοιθ᾽ ὅ τι
δρῶν ἢ τί φωνῶν τήνδε ῥυσαίμην πόλιν.

Sophocles, *Oedipus Tyrannus* 65–72

© OCR 2013

## Passage 3A

ΣΤΡΕΨΙΑΔΗΣ ΦΕΙΔΙΠΠΙΔΗΣ

Στ. Φειδιππίδη Φειδιππίδιον.
Φε. τί ὦ πάτερ;
Στ. κύσον με καὶ τὴν χεῖρα δὸς τὴν δεξιάν.
Φε. ἰδού. τί ἔστιν;
Στ. εἰπέ μοι, φιλεῖς ἐμέ;
Φε. νὴ τὸν Ποσειδῶ τουτονὶ τὸν ἵππιον.
Στ. μὴ ᾽μοί γε τοῦτον μηδαμῶς τὸν ἵππιον
οὗτος γὰρ ὁ θεὸς αἴτιός μοι τῶν κακῶν.
ἀλλ᾽ εἴπερ ἐκ τῆς καρδίας μ᾽ ὄντως φιλεῖς,
ὦ παῖ πιθοῦ.
Φε. τί οὖν πίθωμαι δῆτά σοι;
Στ. ἔκστρεψον ὡς τάχιστα τοὺς σαυτοῦ τρόπους,
καὶ μάνθαν᾽ ἐλθὼν ἃν ἐγὼ παραινέσω.
Φε. λέγε δή, τί κελεύεις;
Στ. καί τι πείσει;
Φε. πείσομαι,
νὴ τὸν Διόνυσον.
Στ. δεῦρό νυν ἀπόβλεπε.
ὁρᾷς τὸ θύριον τοῦτο καὶ τῳκίδιον;
Φε. ὁρῶ. τί οὖν τοῦτ᾽ ἐστὶν ἐτεὸν ὦ πάτερ;
Στ. ψυχῶν σοφῶν τοῦτ᾽ ἐστὶ φροντιστήριον.
ἐνταῦθ᾽ ἐνοικοῦσ᾽ ἄνδρες, οἳ τὸν οὐρανὸν
λέγοντες ἀναπείθουσιν ὡς ἔστιν πνιγεύς,
κἄστιν περὶ ἡμᾶς οὗτος, ἡμεῖς δ᾽ ἄνθρακες.
οὗτοι διδάσκουσ᾽, ἀργύριον ἤν τις διδῷ,
λέγοντα νικᾶν καὶ δίκαια κἄδικα.
Φε. εἰσὶν δὲ τίνες;
Στ. οὐκ οἶδ᾽ ἀκριβῶς τοὔνομα·
μεριμνοφροντισταὶ καλοί τε κἀγαθοί.
Φε. αἰβοῖ πονηροί γ᾽, οἶδα. τοὺς ἀλαζόνας
τοὺς ὠχριῶντας τοὺς ἀνυποδήτους λέγεις,
ὧν ὁ κακοδαίμων Σωκράτης καὶ Χαιρεφῶν.

Aristophanes, *Clouds* 80–104

© OCR 2013

## Passage 3B

ΦΕΙΔΙΠΠΙΔΗΣ
ὡς ἡδὺ καινοῖς πράγμασιν καὶ δεξιοῖς ὁμιλεῖν,
καὶ τῶν καθεστώτων νόμων ὑπερφρονεῖν δύνασθαι.
ἐγὼ γὰρ ὅτε μὲν ἱππικῇ τὸν νοῦν μόνῃ προσεῖχον,
οὐδ᾽ ἂν τρί᾽ εἰπεῖν ῥήμαθ᾽ οἷός τ᾽ ἦν πρὶν ἐξαμαρτεῖν·
νυνὶ δ᾽ ἐπειδή μ᾽ οὑτοσὶ τούτων ἔπαυσεν αὐτός,
γνώμαις δὲ λεπταῖς καὶ λόγοις ξύνειμι καὶ μερίμναις,
οἶμαι διδάξειν ὡς δίκαιον τὸν πατέρα κολάζειν.

Aristophanes, *Clouds* 1399–1405

© OCR 2013

**BLANK PAGE**

OCR
RECOGNISING ACHIEVEMENT

**Copyright Information**

OCR is committed to seeking permission to reproduce all third-party content that it uses in its assessment materials. OCR has attempted to identify and contact all copyright holders whose work is used in this paper. To avoid the issue of disclosure of answer-related information to candidates, all copyright acknowledgements are reproduced in the OCR Copyright Acknowledgements Booklet. This is produced for each series of examinations and is freely available to download from our public website (www.ocr.org.uk) after the live examination series.

If OCR has unwittingly failed to correctly acknowledge or clear any third-party content in this assessment material, OCR will be happy to correct its mistake at the earliest possible opportunity.

For queries or further information please contact the Copyright Team, First Floor, 9 Hills Road, Cambridge CB2 1GE.

OCR is part of the Cambridge Assessment Group; Cambridge Assessment is the brand name of University of Cambridge Local Examinations Syndicate (UCLES), which is itself a department of the University of Cambridge.

© OCR 2013